## III

τοῦτ᾽ ἐγὼ τὸ περισσὸν εἰκόνισμα
τοῦ κωμῳδογέλωτος εἰς θρίαμβον
κισσῷ καὶ στεφάνοισιν ἀμπυκασθέν
ἕστακ᾽, ὄφρα Λύκωνι σᾶμ᾽ ἐπείη·
†ὅσσα γὰρ καθύπερθε λαμπρὸς ἀνήρ,†
μνᾶμα τοῦ χαρίεντος ἔν τε λέσχᾳ
ἔν τ᾽ οἴνῳ τόδε, κἄτι τοῖς ἔπειτα
ἄγκειται παράδειγμα τᾶς ὀπωπᾶς.

## IV

Φῶκος ἐπὶ ξείνῃ μὲν ἀπέφθιτο, κῦμα γὰρ μέλαινα
νεῦς οὐχ †ὑπεξήνεικεν οὐδ᾽ ἐδέξατο†·
ἀλλὰ κατ᾽ Αἰγαίοιο πολὺν βυθὸν ᾤχετο πόντου
βίῃ Νότου πρήσαντος ἐσχάτην ἅλα·
τύμβου δ᾽ ἐν πατέρων κενεοῦ λάχεν, ὃν πέρι Προμηθίς
μήτηρ λυγρῇ ὄρνιθι πότμον εἰκέλη
αἶ αἶ κωκύει τὸν ἑὸν γόνον ἤματα πάντα,
λέγουσα τὸν πρόωρον ὡς ἀπέφθιτο.

## V

φεῦγε θαλάσσια ἔργα, βοῶν δ᾽ ἐπιβάλλευ ἐχέτλῃ,
εἴ τί τοι ἡδὺ μακρῆς πείρατ᾽ ἰδεῖν βιοτῆς·
ἠπείρῳ γὰρ ἔνεστι μακρὸς βίος, εἰν ἁλὶ δ᾽ οὔ πως
εὐμαρὲς εἰς πολιὴν ἀνδρὸς ἰδεῖν κεφαλήν.